**1)** ***Sicioni*** **1-35** (ed. A. Blanchard, *Ménandre. Les Sicyoniens*, Paris 2009 con modifiche)
(ΘΕΟΣ ΠΡΟΛΟΓΙΖΩΝ)

fr. III

].[..]..[.][
….γ]άρ εἶναί φημι τούτου θυγάτριον.
ὡς] δ᾽ἐγκρατεῖς ἐγένοντο σωμάτων τρ[ιῶν,
τὴν γραῦν μὲν οὐκ ἔδοξε λυσιτελεῖν ἄ[γειν
αὐτοῖς, τὸ παιδίον δὲ καὶ τὸν οἰκέτην
τῆς Καρίας ἀγαγόντες εἰς τὰ Μύλασ᾽, ἐ[κεῖ
ἐχρῶντ᾽ ἀγορᾷ, καθῆτό τ᾽ἐπὶ τῆς ἀγκ[άλης
ἔ]χων ὁ θεράπων τὴν τροφίμην. πωλ[οῦσι δέ
π]ροσῆλθεν ἡγεμών τις· ἠρώτα «πόσ[ου
ταῦτ᾽ ἐστιν;», ἤκουσεν, συνεχώρησ᾽, ἐπ[ρίατο.
παλίμβολος δὲ τῷ θεράποντι πλησί[ον
τ]ῶν αὐτόθεν τις ἕτερος ἅμα πωλουμ[ένων
«β]έλτι[σ]τε, θάρρει», φησίν, «ὁ Σικυώνιος
ἠ]γόρακεν ὑμᾶς, ἡγεμὼν χρηστὸς σφόδρα
κ]αὶ πλούσιος, τούτῳ [τ]υχόν[
ἐ]κ τοῦ παραχρῆμ[
τ]ῷ παιδίῳ τὴν πατ[ρίδα
.]εον προσάγων οἰκεῖον εἰς τ[
πρὶ]ν εἰδέναι δοκεῖν τ[ι

(*desunt 5-15 vel 26-40 versus*)

fr. IV a

]δειδοξενουτινος
] γὰρ ποιοῦσί τε
].αν[.]ετι.
ταῦτ᾽ ἐστὶ τὰ κεφάλαια. τὰ] καθ᾽ ἕκαστα δὲ
ὄψεσθ᾽ ἐὰν βούλησθε. βουλήθ]ητε δέ.
λ]ογισμὸν ἀνδρικὸν
]τεραν ἰδεῖν
].όνοις, ὡς γίγνεται

]. ενη δεύτερον
] οὑτοσὶ
]ν μου πυθοῦ
]….[..το]ύτῳ τῷ κακῷ
]με καὶ συνοικίζειν, γύναι
]. οὐδεμία, μὰ τὼ θεὼ,
]ν ἄπεστι· τούτῳ γάρ, τάλαν,
]. φασιν, ὁ δὲ τρόμος πολὺ

**2) *Sicioni* 52-61**

fr. VIII a

]ων ἀπολεσάντων παιδίον
]δόντων τρέφειν ἢ τὸν τόπον
]γεγραμμένων αλλως ἐκεῖ
τί δὴ τὸ κακ]όν ποτ' ἐστιν οὕτω μαρτυρεῖν
μάρτυρα] τοιοῦτον ἄν τις εὕροι πολλαχοῦ
ἐν] ἄστει τουδ'· Ἐλευσίς ἐστι καὶ
πανήγ]υρίς που· τίς νοήσει, πρὸς θεῶν;
εἰ συνδρα]μεῖται δῆμος, εἷς τις οὐ ταχὺ
ἀ]φελκύσαιτ' ἄν· εἰ δὲ περιμένω,
] ἔτι λέγοντος ἑσπέρα

**3) *Sicioni* 120-149**

(ΘΗΡΩΝ)
ὁ] ποῖος;
(ΣΤΡΑΤΟΦΑΝΗΣ)
Πυρρίας, ὃν οἴκαδε
]..εαυτόν, ἵνα φράσῃ σεσωμένους
]ντες ὀλίγων. (vac.)
(ΘΗ.) οἶδα· πρὸς τὴν μητέρα
]μεν.
(ΣΤ.) τί οὖν (uac.) δεῦρ' ἔρχεται μαθὼν πάλιν

καὶ μάλα σπουδῇ] βαδίζων; (vac.)

(ΘΗ.) καὶ σκυθρωπὸς ἔρχεται.

(ΣΤ.) ἦ τι συμβέβη]κεν ἡμῖν, Πυρρία, νεώτερον;

(ΠΥΡΡΙΑΣ)

ἥ γε σὴ μήτηρ] τέθνηκε πέρυσιν. (uac.)

(ΣΤ.) οἴμοι.

(ΘΗ.) γραῦς σφόδρ' ἦν.

(ΣΤ.) ]. ἐκείνη γέγονεν.

(ΠΥ.) ἀλλ' ἐν πράγμασιν,

Στρατοφάνη, κ]αινοῖς ἔσει σὺ σφόδρα τ' ἀνελπίστοις τισίν·

οὐ γὰρ αὐτῆς ἦσ]θας ὑός, ὡς ἔοικεν.

(ΣΤ.) ἀλλὰ τοῦ;

(ΠΥ.) ]ο τελευτῶσ' ἐνθαδὶ τὸ σὸν γένος

ἔ]γραψεν. (uac.)

(ΘΗ.) ἀποθνῄσκων οὐ φθονεῖ

οὐδενὸς τοῖς ζ]ῶσιν ἀγαθοῦ· τοὺς σεαυτοῦ σ' ἀγνοεῖν

fr. X B οὐκ ἐβούλετ'.

(ΠΥ.) οὐ μόνον δ' ἦν τοῦτο· καὶ δίκην δέ τῳ

ὦφλεν ὁ πατήρ, ὡς ἔοικε, ζῶν ὁ σὸς Βοιωτίῳ—

(ΣΤ.) ἐπυθόμην.

(ΠΥ.) πολλῶν ταλάντων, Στρατοφάνη, κατὰ σύμβολα.

περὶ τούτων ἁπάντων μοι τότ' εὐθὺς γράμματα

τήν τε τοῦ πατρὸς τελευτὴν ἅμα λέγοντ' εἰς Καρίαν.

(ΠΥ.) ὄντ' ἀγώγιμόν σε τούτῳ πυθομένη τῶν τοὺς νόμους

εἰδότων τήν τ' οὐσίαν σου, τοῦτο προὐνοεῖτό σου

καὶ τελευτῶσ' ἀπεδίδου σε τοῖς σεαυτοῦ γ' εὐλόγως.

(ΣΤ.) δὸς τὸ γραμματείδιόν μοι. (uac.)

(ΠΥ.) καὶ ταδὶ χωρὶς φέρω

τῶν γεγραμμένων ἐκείνοις, Στρατοφάνη, γνωρίσματα

καὶ τεκμήρι', ὡς ἐκείνην ἔφασαν οἱ δόντες λέγειν

ζῶσαν. (uac.)

(ΘΗ.) ὦ δέσποιν' Ἀθηνᾶ, τουτονὶ σαυτῆς ποίει,

ἵνα λάβῃ τὴν παῖδ᾽, ἐγὼ δὲ Μαλθάκην. :
(ΣΤ.) βαδίζετε.
δεῦρο, Θήρων.
(ΘΗ.) οὐ λέγεις μοι – ;
(ΣΤ.) πρόαγε, μηθέν πω λάλει.
(ΘΗ.) ἀλλ᾽ ὅμως—. κἀγώ βαδίζω.
(ΣΤ.) καὶ σὺ δεῦρο, Πυρρία·
τῶν ἐμῶν λόγων γὰρ οἴσεις εὐθέως τὰ σύμβολα
καὶ παρὼν δείξεις ἐάν τις αὐτὰ βούληται σκοπεῖν.

**4) *Sicioni* 169-271**

(ΕΛΕΥΣΙΝΙΟΣ)
ὦ γεραιέ, μεῖνον ἐν παραστά[σιν δόμων.
(ΣΜ.) μένω. τίνος δὲ τοῦτο θωύσ[σεις χάριν;
(ΕΛ.) ὡς ἂν σὺ μικρὸν καὶ καπν[οὺς
(ΣΜ.) βουλόμεθ᾽ ἀκοῦσαι τὰ περὶ τ[ῶν καπνῶν
κα…υ..κυφαι.ειδεκα[
(ΕΛ.) εἰδώς γ᾽ ἃ πυν[θάνει
(ΣΜ.) ἅπασαν ἡμῖν εἰ[πὲ
(ΕΛ.) ἐτύγχανον μὲν οὐ[
βαίνων, μὰ τὸν Δί᾽, οὔτε τ[
V A ]ε τοῦτ᾽ ἐμοί, καλῶς ποιῶν
] καὶ τὰ τῶν ἄλλων κακὰ
]μαι, φοβερὸς εἰς τριώβολον
]τε κοινόν, μέγα βοῶν οἷς ἂν τύχω,
δημο]τικός, οἵπερ καὶ μόνοι σῴζουσι γῆν,
ἐξ] ἄστεως δ᾽ ἥκων ἵν᾽ ἐντύχοιμί τῳ
τ]ῶν δημοτῶν μέλλοντι λεπτὸν βοΐδιον
νέμειν ἀκούειν θ᾽ ὅσα πρόσεστ᾽ αὐτῷ κακὰ
ὑπὸ τῶν λαβόντων μερίδα (τούτων δ᾽ αὐτὸς ἦν·
τοῦ τῆς θεοῦ δήμου γάρ εἰμ᾽ ἐπώνυμος,
†βλέπηις†, Ἐλευσίνιος). ἐπέστην ὄχλον ἰδὼν
πρὸς τοῖς προπυλαίοις καὶ «πάρες μ᾽» εἰπὼν ὁρῶ
καθημένην παῖδ᾽, εἷς τε τούτων τῶν κύκλῳ

γενόμενος. εὐθὺς δῆμος ἦν καὶ κύριον
τ]ῆς καθημένης κόρης
*desunt 6 uersus*

V B οὔπω πέπυσμαι π[
ὁ κύριος κακὸν ποιήσῃ κ.[
καὐτὸς μεθ' ὑμῶν ἐνθαδὶ κα[θίζομαι
ἐπόισε τοῦτο καὶ μέγ' ὠρεχθή[σαμεν
ἡμεῖς «πολῖτίς ἐστιν ἡ παῖς», καὶ μόλι[ς
σὺν τῷ κύκλῳ πάλιν κατεσβέσθη π[ολὺς
ἦχος. σιωπῆς γενομένης προσίσταται
μειράκιον ἐγγὺς τῷ θεράποντι λευκόχρω[ν
ὑπόλειον ἀγένειόν τι καὶ μικρὸν λαλεῖν
ἐβούλετ'. οὐκ εἰάσαμεν· «μεῖζον λέγε»
εὐθύς τις ἀνεβόησε καὶ «τί βούλεται;
τίς ἐστι; τί λέγεις;» «οἶδέ μ' οὗτος ὁ θεράπων»
φησίν, «πάλαι γὰρ οὖν βοηθῶ κἄν τινος
δέητ', ἐρωτῶ.» καὶ «τὰ πόλλ' ἀκήκοα
αὐ]τοῦ λέγοντος ἄρτι πρὸς τὸν δεσπότην.»
κα]ὶ κόκκινος γενόμενος ὑπανεδύετο
κοὐ] παντελῶς ἦν βδελυρός, οὐ σφόδρ' ἤρεσεν
ἡ]μῖν δέ, μοιχώδης δὲ μᾶλλον κατεφάνη.
μ]έγ' ἐγκραγόντες εἰς τὸν [....].. ἐώσαμε[ν
..]ν τοῦτον. εἷς θ' ἡμῶν γενόμενος ἔβλεπ[εν
εἰς] τὴν κόρην, ἐλάλε[ι] τε τοῖς ἐγγὺς συχν[ὰ
]ον πεφευγυῖ' ἡ κόρη
ὄ]ψει τις ἀνδρικὸς πάνυ
]μως, νὴ τὸν Δί', ἐγγὺς ἵσταται
ἄ]νθρωπος ἕτερος καὶ τρίτος
]υτων· ὡς δ' ἐνέβλεψ' ἐγγύθεν
].δ', ἐξαπίνης ποταμόν τινα
ο]ὗτος ἐμπαθῶς τε τῶν
λα]μβάνεται βρυχόμενος

] ἔλαβε τοὺς ἑστηκότας
]ε τί βούλει; λέγε, λέγε.»
]ν, «οὗτος ἡ θεὸς
] ὑμῖν εὐτυχεῖν
τέ]τροφα μικρὸν παιδίον
]αὐτῷ φαίνεται
]πρώτιστα μὲν
ὑ]μῶν ἀξίως
]ησηθωσαν
]ηρ
]ιων ὄχλον
]ειν
].
πα]τρὸς
αὐτῆς, ἐμὸν δ’ ὄντ’ ἀποδίδωμι τῇ κόρῃ·
τροφεῖ’ ἀφίημ’, οὐδὲν ἀξιῶ λαβεῖν.
εὑρισκέτω τὸν πατέρα καὶ τοὺς συγγενεῖς·
οὐκ ἀντιτάττομ’ οὐθέν.» «εὖ γ.» «ἀκούσατε
καὶ τἀμὰ δ’, ἄνδρες. ὄντες αὐτοὶ κύριοι
ταύτης (ἀφεῖται τοῦ φόβου γὰρ ὑπό γ’ ἐμοῦ)
πρὸς τὴν ἱέρειαν θέσθε καὶ τηρησάτω
ὑμῖν ἐκείνη τὴν κόρην.» πολλήν τινα
τοῦθ’, ὡς προσῆκ’, εὔνοιαν εἵλκυσ’· ἀνέκραγον
«ὀρθῶς γε» πάντες, εἶτα «λέγε» πάντες πάλιν.
«Σικυώνιος τὸ πρότερον εἶναι προσεδόκων
κἀγώ· πάρεστι δ’ οὑτοσί μοι νῦν φέρων
μητρὸς διαθήκας καὶ γένους γνωρίσματα·
οἶμαι δὲ καὐτός, εἴ τι τοῖς γεγραμμένοις
τούτοις τεκμαίρεσθαί με πιστεῦσαί τε δεῖ,
εἶναι πολίτης ὑμέτερος. τὴν ἐλπίδα
μήπω μ’ ἀφέλησθ’, ἀλλ’ ἂν φανῶ τῆς παρθένου
κἀγὼ πολίτης, ἣν ἔσωσα τῷ πατρί,
ἐάσατ’ αἰτῆσαί με τοῦτον καὶ λαβεῖν·

τῶν ἀντιπραττόντων δ’ ἐμοὶ τῆς παρθένου
μηθεὶς γενέσθω κύριος πρὶν ἂν φανῇ
ἐκεῖνος.» «ὀρθῶς καὶ δίκαι’.» «ὀρθῶς.» «ἄγε
πρὸς τὴν ἱέρειαν, ἄγε λαβών.» ὁ λευκόχρω[ς
ἐκεῖνος ἐξαίφνης τε παραπηδᾷ πάλ[ιν
καί φησι «ταυτὶ συμπέπεισθ’ ὡς οὑτοσὶ
νῦν ἐξαπίνης εἴληφε διαθήκας ποθέ[ν,
ἐστί τε πολίτης ὑμέτερος, τραγῳδίᾳ
κενῇ τ’ ἀγόμενος τὴν κόρην ἀφήσετ[αι;»
«ἆρ’ οὐκ ἀποκτενεῖς τὸν ἐξυρημένον;»
«μὰ Δί’, ἀλλά σ’, ὅστις— οὐ γάρ;» «οὐκ ἐκ τοῦ μέσ[ου,
λάσταυρε;» «πόλλ’ ὑμῖν γένοιτο κἀγ[αθά.»
ἐκεῖνος· «ἄγε, βάδιζ’ ἀναστάσ’.» ὁ θερά[πων·
«ὑμῶν κελευόντων βαδιεῖται» φη[σί, καὶ
«κελεύετ’, ἄνδρες;» «ναί, βάδιζ’.» ἀνίστ[ατο,
ἐβάδιζε. μέχρι τούτου παρῆν· τ[ὰ δ’ ὕστερα
οὐκέτι λέγειν ἔχοιμ’ ἄν. ἀλλ’ ἀπέ[ρχομαι.